δὲ ἐξέλθητε εἰς πόλεμον ἐν τῇ γῇ ὑμῶν πρὸς τοὺς ὑπεναντίους
τοὺς ἀνθεστηκότας ὑμῖν, καὶ σημανεῖτε ταῖς σάλπιγξιν καὶ ἀνα-
μνησθήσεσθε ἔναντι κυρίου καὶ διασωθήσεσθε ἀπὸ τῶν ἐχθρῶν
10 ὑμῶν. [10] καὶ ἐν ταῖς ἡμέραις τῆς εὐφροσύνης ὑμῶν καὶ ἐν ταῖς
ἑορταῖς ὑμῶν καὶ ἐν ταῖς νουμηνίαις ὑμῶν σαλπιεῖτε ταῖς σάλ-
πιγξιν ἐπὶ τοῖς ὁλοκαυτώμασιν καὶ ἐπὶ ταῖς θυσίαις τῶν σωτηρίων
ὑμῶν, καὶ ἔσται ὑμῖν ἀνάμνησις ἔναντι τοῦ θεοῦ ὑμῶν· ἐγὼ κύ-
ριος ὁ θεὸς ὑμῶν.
11 [11] Καὶ ἐγένετο ἐν τῷ ἐνιαυτῷ τῷ δευτέρῳ ἐν τῷ μηνὶ τῷ δευ-
τέρῳ εἰκάδι τοῦ μηνὸς ἀνέβη ἡ νεφέλη ἀπὸ τῆς σκηνῆς τοῦ μαρ-
12 τυρίου, [12] καὶ ἐξῆραν οἱ υἱοὶ Ισραηλ σὺν ἀπαρτίαις αὐτῶν ἐν τῇ
13 ἐρήμῳ Σινα, καὶ ἔστη ἡ νεφέλη ἐν τῇ ἐρήμῳ τοῦ Φαραν. [13] καὶ
14 ἐξῆραν πρῶτοι διὰ φωνῆς κυρίου ἐν χειρὶ Μωυσῆ. — [14] καὶ ἐξῆ-
ραν τάγμα παρεμβολῆς υἱῶν Ιουδα πρῶτοι σὺν δυνάμει αὐτῶν·
15 καὶ ἐπὶ τῆς δυνάμεως αὐτῶν Ναασσων υἱὸς Αμιναδαβ, [15] καὶ ἐπὶ
16 τῆς δυνάμεως φυλῆς υἱῶν Ισσαχαρ Ναθαναηλ υἱὸς Σωγαρ, [16] καὶ
17 ἐπὶ τῆς δυνάμεως φυλῆς υἱῶν Ζαβουλων Ελιαβ υἱὸς Χαιλων. [17] καὶ
καθελοῦσιν τὴν σκηνὴν καὶ ἐξαροῦσιν οἱ υἱοὶ Γεδσων καὶ οἱ υἱοὶ
18 Μεραρι αἴροντες τὴν σκηνήν. — [18] καὶ ἐξῆραν τάγμα παρεμβολῆς
Ρουβην σὺν δυνάμει αὐτῶν· καὶ ἐπὶ τῆς δυνάμεως αὐτῶν Ελισουρ
19 υἱὸς Σεδιουρ, [19] καὶ ἐπὶ τῆς δυνάμεως φυλῆς υἱῶν Συμεων Σαλα-
20 μιηλ υἱὸς Σουρισαδαι, [20] καὶ ἐπὶ τῆς δυνάμεως φυλῆς υἱῶν Γαδ
21 Ελισαφ ὁ τοῦ Ραγουηλ. [21] καὶ ἐξαροῦσιν οἱ υἱοὶ Κααθ αἴροντες τὰ
22 ἅγια καὶ στήσουσιν τὴν σκηνήν, ἕως παραγένωνται. — [22] καὶ ἐξα-
ροῦσιν τάγμα παρεμβολῆς Εφραιμ σὺν δυνάμει αὐτῶν· καὶ ἐπὶ
23 τῆς δυνάμεως αὐτῶν Ελισαμα υἱὸς Εμιουδ, [23] καὶ ἐπὶ τῆς δυνάμεως
24 φυλῆς υἱῶν Μανασση Γαμαλιηλ ὁ τοῦ Φαδασσουρ, [24] καὶ ἐπὶ τῆς
25 δυνάμεως φυλῆς υἱῶν Βενιαμιν Αβιδαν ὁ τοῦ Γαδεωνι. — [25] καὶ
ἐξαροῦσιν τάγμα παρεμβολῆς υἱῶν Δαν ἔσχατοι πασῶν τῶν παρ-
εμβολῶν σὺν δυνάμει αὐτῶν· καὶ ἐπὶ τῆς δυνάμεως αὐτῶν Αχι-
26 εζερ ὁ τοῦ Αμισαδαι, [26] καὶ ἐπὶ τῆς δυνάμεως φυλῆς υἱῶν Ασηρ
27 Φαγαιηλ υἱὸς Εχραν, [27] καὶ ἐπὶ τῆς δυνάμεως φυλῆς υἱῶν Νεφθαλι
28 Αχιρε υἱὸς Αιναν. [28] αὗται αἱ στρατιαὶ υἱῶν Ισραηλ, καὶ ἐξῆραν
σὺν δυνάμει αὐτῶν.
29 [29] Καὶ εἶπεν Μωυσῆς τῷ Ιωβαβ υἱῷ Ραγουηλ τῷ Μαδιανίτῃ τῷ
γαμβρῷ Μωυσῆ Ἐξαίρομεν ἡμεῖς εἰς τὸν τόπον, ὃν εἶπεν κύριος
Τοῦτον δώσω ὑμῖν· δεῦρο μεθ᾽ ἡμῶν, καὶ εὖ σε ποιήσομεν, ὅτι
30 κύριος ἐλάλησεν καλὰ περὶ Ισραηλ. [30] καὶ εἶπεν πρὸς αὐτόν Οὐ
31 πορεύσομαι ἀλλὰ εἰς τὴν γῆν μου καὶ εἰς τὴν γενεάν μου. [31] καὶ

9 σημαν.] σαλπιειτε A ‖ 12 σινα] pr. του A ‖ 14 υιων] pr. των A ‖ 22 και 2° > B*† ‖ 24 ο του] υιος A ‖ 29 ιωβαβ M] ωβαβ A, οβαβ B† | τω 3° > A Bc